οὔτε ὡς στοιχεῖόν ἐστιν ὁ τόπος, οὔτε ὡς ἐκ στοιχείων οὐ μόνον αἰσθητῶν, ἀλλ' οὐδὲ νοητῶν· οὔτε ὕλη ἐστίν, οὔτε εἶδος, οὔτε τελικὸν αἴτιον, οὔτε κινητικὸν εἴτουν ποιητικόν. Καὶ ταῦτα πάντα δείκνυσιν ὁ Φιλόσοφος, ἀπτόμεθα δὲ μόνον ἡμεῖς πρὸς ὑπόμνησιν.

Ἔτι, εἰ ἔστι τι τῶν ὄντων ὁ τόπος, ἔσται που καὶ αὐτός, ἐπειδὴ τὰ ὄντα ἐν τόπῳ, ὡς ἐρρέθη, καὶ ἔσται τοῦ τόπου τόπος, καὶ τοῦτο ἐπ' ἄπειρον κατὰ τὴν Ζήνωνος ἀπορίαν.

Ἔτι, ἀνάγκη συναύξεσθαι τὸν τόπον τοῖς σώμασιν, ἐπείπερ οὐκ ἔστι κενόν.

Ἔτι, δόξειεν ἂν εἶδος εἶναι τὸν τόπον· πέρας γάρ ἐστιν αὐτὸς τοῦ ἐμπεριεχομένου σώματος ὡς πρώτως περιέχον αὐτό· τὸ δὲ εἶδος ὁρίζει τὴν ὕλην, ὡς εἴρηται ἐν τοῖς περὶ ἀπείρου λόγοις. Ἀλλὰ μὴν καὶ ὕλη δόξειεν ἂν εἶναι ὁ τόπος διὰ τὸ ἀόριστον, ὅπερ καὶ ἀμφοτέροις προσήκει. Ὅθεν καὶ Πλάτων ἐν Τιμαίῳ τὴν ὕλην χώραν φησὶν ὡς μεταληπτικὴν τῶν εἰδῶν, ἔνθα καὶ αὐτὸν αἰτιᾶται τὸν Πλάτωνα, ὅτι τὰ μὲν εἴδη, ἃ καὶ ἀριθμοὺς ἐκάλει, ἔλεγε μὴ εἶναι ἐν τόπῳ, τὴν δὲ ὕλην τὴν δεκτικὴν τῶν εἰδῶν χώραν ἐκάλει καὶ τόπον· δόξειε μὲν ἂν οὕτως ἢ ὕλη εἶναι, ἢ εἶδος ὁ τόπος· ἀλλ' οὐδέτερον δυνατόν. Ὁ μὲν γὰρ τόπος χωριστὸς τοῦ
f. 168v πράγματος· ἐν ᾧ γὰρ νῦν ἀήρ ἐστι, πρότερον ἦν | ὕδωρ, οὔτε δὲ τὸ εἶδος, οὔτε ἡ ὕλη χωρίζεται τοῦ πράγματος· ὥστε οὔτε μόριον, οὔτε ἕξις ἐστίν, ἃ μὴ χωριστὰ τοῦ πράγματος· ὁ δὲ τόπος, ὡς εἴρηται, χωριστός, καὶ ἔοικεν ἀγγείῳ, ὅπερ οὐδέν ἐστι τοῦ πράγματος. Ἔστι δὲ τὸ ἀγγεῖον τόπος μεταχωρητός, καὶ ἄλλως δὲ ὁ τόπος οὐκ ἔστιν ὕλη· αὐτὸς μὲν περιέχει, ὕλη δὲ περιέχεται.

Ἔτι, τὸ ὄν, ποῦ ὄν, αὐτό τε εἶναί τι δοκεῖ, καὶ ἕτερον τὸ ἐκτὸς αὐτοῦ, ἐν ᾧ ἐστι. Πῶς ἂν οὖν εἴη ὁ τόπος ἡ ὕλη, ἢ τὸ εἶδος, ἅπερ αὐτὸ τὸ ὄν εἰσίν;

Ἔτι, πῶς ἂν φέροιτό τι τῶν σωμάτων εἰς τὸν ἑαυτοῦ τόπον; Καὶ γὰρ τὸν αὐτοῦ τόπον ἔχον ἐστὶν ὕλην ἔχον καὶ εἶδος, εἰ ὁ τόπος ταῦτα ἐστίν. Καὶ ἄλλοις ἐπιχειρήμασι τὸ μὴ εἶναι τὸν τόπον ὕλην, ἢ εἶδος δείξας, διορίζεται ποσαχῶς ἄλλο ἐν ἄλλῳ λέγεται ὡς συμβαλλόμενον πρὸς τὴν τοῦ τί ἐστιν ὁ τόπος εὕρεσιν.

Ὅτι τὸ ἐν ἄλλῳ εἶναι ὀκταχῶς· πρῶτον, ὡς ὁ δάκτυλος ἐν τῇ χειρί, καὶ ἡ χεὶρ ἐν τῷ σώματι, ὡς μέρος δηλονότι ἐν ὅλῳ, ἢ ἐν μέρει μόριον· δεύτερον, ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν· οὐδὲ γάρ ἐστιν ἄλλο τὸ ὅλον ἢ αὐτὰ τὰ μέρη· τρίτον, ὡς τὸ εἶδος ἐν γένει· ὁ γὰρ ἄνθρωπος ἐν τῷ ζῴῳ· τέταρτον, τὸ ἀνάπαλιν ὡς τὸ γένος ἐν τοῖς εἴδεσιν· ὅλον γάρ ἐστι τρόπον τινὰ καὶ αὐτὸ ἐν τοῖς μέρεσι, διαφέρει δέ, ὅτι τὸ μὲν γένος ἐν τῷ ὅρῳ

---

26 *Πῶς ἂν οὖν ἂν* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ εἴδους μέρος ἐστίν, ὡς ἐν τῷ λόγῳ τοῦ ἀνθρώπου μέρος τὸ ζῷον, ἡ δὲ χεὶρ οὐδένα τρόπον ὅλον ἐστίν, οὐδὲ λαμβάνεται τὸ ὅλον σῶμα ἐν τῷ τῆς χειρὸς ὅρῳ ὡς μέρος· πέμπτον, ὡς τὸ εἶδος ἐν ὕλῃ, ἡ ὑγεία δηλονότι ἐν τοῖς θερμοῖς καὶ ψυχροῖς· ἕκτον, ὡς ἐν τῷ πρώτῳ ποιοῦντι καὶ ἄρχοντι ἤγουν ἐν τῷ ἡγεμόνι τὰ τῶν ὑπηκόων πράγματα· ἕβδομον, ὡς ἐν τέλει, ὡς ἐν τῷ πλουτεῖν καὶ ὑγιαίνειν αἱ ἐμπορίαι καὶ τὰ φάρμακα· ὄγδοον, ὡς ἐν ἀγγείῳ ἢ ὅλως ἐν τόπῳ, ὃς καὶ κυριώτατον τοῦ ἐν ἄλλῳ εἶναι τρόπος ἐστίν.

Ὅτι τὸ ἐν ἑαυτῷ εἶναί τι ἢ καθ' αὑτὸ νοεῖται ἤγουν δι' ἑαυτό, ἢ κατ' ἄλλο· καθ' αὑτὸ μὲν οὖν εἶναί τι ἐν ἑαυτῷ πάντως δηλονότι καὶ δι' ἑαυτὸ ἀδύνατον· κατ' ἄλλο δὲ ἐνδέχεται εἶναι, ὥσπερ φαμὲν ἄνθρωπον εἶναι λευκόν, ὅτι ἡ ἐπιφάνεια αὐτοῦ λευκή, πέρας οὖσα τοῦ σώματος, καίτοι γε οὐχ ὁ ἄνθρωπος διόλου λευκός ἐστιν· καὶ ἡ γραμματικὴ καὶ ὅλως ἡ ἐπιστήμη λέγεται εἶναι ἐν ἀνθρώπῳ, καὶ ἐν ψυχῇ ἐν τῷ λογισμῷ οὖσα πρώτως· οὕτω δὴ καὶ ὁ ἀμφορεὺς οἶνος | λέγοιτ' ἂν εἶναι ἐν ἑαυτῷ f. 169 οὐ καθ' αὑτὸ καὶ πρώτως, ἀλλὰ δι' ἄλλο, τουτέστι διὰ τὸ μέρος, διότι δηλονότι ὁ οἶνός ἐστιν ἐν ἀμφορεῖ. Ἀλλ' οὐδὲ κατὰ συμβεβηκὸς λέγοιτ' ἄν τι ἐν ἑαυτῷ εἶναι· δυοῖν γὰρ ἀντικειμένων τῷ πρώτως καὶ καθ' αὑτό, τοῦ τε κατ' ἄλλο καὶ τοῦ κατὰ συμβεβηκός, ὥσπερ οὐ δύναταί τι ἐν ἑαυτῷ εἶναι πρώτως, οὕτως οὐδὲ κατὰ συμβεβηκός, εἰ μὴ μόνον κατ' ἄλλο ὃν εἴρηται τρόπον, τουτέστι τῷ τοῦ μέρους λόγῳ. Τοῦτο δὲ διώρισται οὕτως πρὸς λύσιν τῆς προειρημένης ἀπορίας τοῦ Ζήνωνος, ἥτις ἐνεπόδιζε καὶ αὐτὴ πρὸς τὴν περὶ τοῦ τόπου μέλλουσαν διάρθρωσιν καὶ τὸν διορισμόν· εἰ γὰρ καὶ μὴ εἴη ὁ τόπος ἐν ἄλλῳ ὡς ἐν τόπῳ κατά τε Ζηνῶνα καὶ αὐτὴν ἀλήθειαν διὰ τὰ ἐντεῦθεν ἑπόμενα, ἀλλὰ ἔσται ὡς μέρος, ὡς πέρας σώματος δηλονότι καὶ ἐπιφάνεια.

Ὅτι πρὸς τὸν περὶ τοῦ τόπου διορισμὸν ἀκριβῆ προλαμβάνειν δεῖ τινα ὥσπερ ἀξιώματα ἐκ τῶν καθ' αὑτὸ θεωρουμένων τῷ τόπῳ. Ὅθεν καὶ τίθησιν ἓν μέν, ὅτι ὁ τόπος ἐστὶ τὸ πρῶτον περιέχον ἐκεῖνο οὗ τόπος ἐστίν· δεύτερον, ὅτι ὁ τόπος οὐδέν ἐστι τοῦ πράγματος τοῦ ἐν αὐτῷ τῷ τόπῳ, οὔτε ὕλη οὔτε εἶδος, οὔτε τις ἕξις, οὔτε μόριον· τρίτον, ὅτι ὁ πρῶτος τόπος οὔτε μείζων, οὔτε ἐλάττων ἐστὶ τοῦ ἐν αὐτῷ· τέταρτον, ὅτι ἀδύνατον ἀπολείπεσθαι τὸν ἑκάστου τόπον ποτέ, μὴ ἔχοντα ὁτιοῦν ἐν ἑαυτῷ· συνεισάγεται γὰρ τὸ κενὸν οὕτω· οὔτε οὖν ἀπολείπεται ὁ ἑκάστου τόπος καὶ χωριστός ἐστιν· πέμπτον, ὅτι πᾶς τόπος ἢ τὸ ἄνω ἔχει, ἢ τὸ κάτω, πάντως δὲ καὶ τὰς λοιπὰς δύο ἐναντιώσεις τῶν διαστάσεων, τὸ ἔμπροσθεν δηλονότι, ἢ ὄπισθεν, καὶ τὸ δεξιόν, ἢ τὸ ἀριστερόν· ἕκτον, ὅτι πάντα τὰ σώματα ἁπλᾶ τε καὶ σύνθετα φέρονται φύσει καὶ μένουσιν ἐν τοῖς οἰκείοις τόποις· τοῦτο δὲ καὶ ἐκ τῶν προειρημένων γέγονε δῆλον, νῦν δὲ πρὸς τὴν εἰρημένην χρείαν συνῆπται· δεῖ γὰρ τὴν



Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σκέψιν οὕτω ποιεῖσθαι περὶ τοῦ τόπου, ὡσαύτως δὲ καὶ περὶ παντὸς ἄλλου ὁριζομένου, ὥστε τῷ ὁρισμῷ αὐτοῦ τά τε ἀπορούμενα περὶ αὐτοῦ λύεσθαι εὐθύς, καὶ τὰ δοκοῦντα ὑπάρχειν αὐτῷ δῆλα εἶναι ὑπάρχοντα, καὶ πᾶν αἴτιον τῆς περὶ αὐτὸ δυσχερείας διαφαίνεσθαι καθαρῶς καὶ λύεσθαι.

f. 169v Ὅτι οὐκ ἂν ἐζητεῖτο τόπος, | εἰ μὴ κίνησις ἦν ἡ κατὰ τόπον· συνεισάγεται δὲ αὐτῇ πως καὶ αὔξησις καὶ φθίσις· δοκεῖ γάρ πως καὶ ταῦτα μεταβάλλειν ἐκ τόπου εἰς τόπον, ἐξ ἐλάττονος εἰς μείζονα, καὶ ἐκ μείζονος εἰς ἐλάττω.

Ὅτι τὸ κινούμενον ἐνεργείᾳ πᾶν ἢ καθ' αὑτό, ἢ κατὰ συμβεβηκός· τὸ δὲ κατὰ συμβεβηκός, τὸ μὲν ἐνδέχεται καὶ καθ' αὑτὸ κινεῖσθαι, ὡς τὰ μόρια τοῦ ὅλου καὶ ὁ ἐν τῷ πλοίῳ ἧλος· συγκινοῦνται μὲν γὰρ τῷ ὅλῳ κατὰ συμβεβηκὸς ἢ μόρια καὶ περιεχόμενα· κινοῖντο δ' ἂν ποτε καὶ καθ' αὑτὰ ἀπολυθέντα. Ἀλλὰ καὶ τὸ λευκὸν καὶ τὸ μέλαν ἐν σώματι, καὶ ἡ ἐπιστήμη ἐν τῇ ψυχῇ, κινοῦνται κατὰ συμβεβηκὸς μόνον, τῶν ἐν οἷς εἰσι κινουμένων· κινεῖσθαι δὲ τοπικῶς καὶ καθ' αὑτὰ οὐκ ἐνδέχεται.

Ὅτι ἁπλῶς τόπος ἂν νοοῖτο, ἔκ γε τῶν προειρημένων, ἐν ᾧ ἄλλα ἀλλήλων ἅπτεται τὰ πέρατα τοῦ τε περιέχοντος καὶ τοῦ περιεχομένου σώματος. Οὔπω δὲ οὐδὲ τοῦτο ἀκριβής ἐστι τόπου ὁρισμός, οὔτε σαφής· ὅθεν πρὸς μείζω ἀκρίβειαν καὶ σαφήνειαν ἐπάγει, ὅτι ὁ τόπος ἓν τῶν τεσσάρων τούτων ἐξ ἀνάγκης εἶναι δοκεῖ· ἢ εἶδος, ἢ ὕλη, ἢ διάστημα μεταξὺ τῶν ἐσχάτων, τοῦ τε περιέχοντος καὶ περιεχομένου σώματος, ἤ, εἰ μὴ δυνατὸν εἶναί τι μεταξὺ τούτων, ἀλλ' αὐτὰ τὰ ἔσχατα τῶν σωμάτων ἢ μεγεθῶν αὐτόθεν ἅπτεται τοῦ περιέχοντος αὐτά, αὐτὸ ἂν εἴη τὸ περιέχον πέρας ὁ τόπος. Καὶ πρῶτον δείκνυσιν, ὅτι οὐκ ἔστι τὸ εἶδος ὁ τόπος, ὡς καὶ πρότερον δέδεικται· εἶτα, ὅτι οὐδὲ διάστημα τὸ μεταξὺ εἰς ἀδύνατον ἀπαγωγαῖς· εἶτα, ὅτι οὐδὲ ὕλη. Ὅτε τοίνυν οὐδὲν τῶν τριῶν ἐστι, λείπεται εἶναι τὸ τέταρτον τῶν εἰρημένων καὶ τελευταῖον, τὸ πέρας δηλονότι τοῦ περιέχοντος. Διὸ καὶ ἔδοξέ τισιν ὁ τόπος διάστημα κενὸν εἶναι τῶν ἐμπιπτόντων σωμάτων χωρητικόν· ἐδόκει γὰρ αὐτοῖς καὶ ὁ ἀὴρ ἀσώματος εἶναι, καὶ διὰ τοῦτο κενὸν εἶναι τὸν τόπον καὶ τὸ διάστημα ἐνόμιζον, καὶ ἀέρος ἐν αὐτῷ ὄντος, ὡς μὴ φαινομένου τούτου προδήλως. Εἶτα προστίθησιν, ὅτι εἰ τὸ ἀγγεῖον τόπος ἐστὶ μεταφορητός, τὸν τόπον εἶναι δεῖ ὥσπερ ἀγγεῖον ἀμετακίνητον. καὶ διὰ τοῦτο ὅταν ἐν κινουμένῳ κινῆταί τι καὶ μεταβάλλῃ, ἢ καὶ μένῃ, ὥσπερ τὸ ἐν τῷ ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι· διὰ τοῦτο καὶ ὁ πᾶς μᾶλλον ποταμὸς ἤτοι ἡ ἐπιφάνεια τῆς γῆς ἡ περιέχουσα τὸ τοῦ ποταμοῦ
f. 170 ὕδωρ κληθείη ἂν ὁ τόπος | αὐτοῦ τοῦ ποταμίου ὕδατος.

Τελευτῶν ὁρίζεται ἀκριβέστερον τόπον εἶναι τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, καὶ διὰ τοῦτο τὸ μέσον τοῦ οὐρανοῦ εἴτουν τοῦ κόσμου

ΙΩΑΝΝΙΝΑ 2006

ἡ γῆ, καὶ τὸ ἔσχατον αὐτοῦ πρὸς ἡμᾶς ἤτοι ἡ κοίλη ἐπιφάνεια τῆς σεληναίας σφαίρας δοκοῦσιν εἶναι μάλιστα καὶ κυρίως τὸ μὲν ἄνω, τὸ δὲ κάτω ὡς ἀκίνητα πάντως πέρατα ὄντα, ἐν οἷς περιέχεται τὰ κινητὰ περιεχόμενα σώματα· ἀκίνητος μὲν γὰρ τόπος ἡ γῆ προδήλως· ἀκίνητον δὲ τὸ οὐράνιον σῶμα ὡς ὅλον· ἀμετάβατον γάρ, ὅτι ἡ κυκλικὴ αὐτοῦ περιφορὰ ἐν τοῖς μορίοις αὐτοῦ θεωρεῖται, ὧν ἐστιν ἡ μετάβασις· τὸ δ' ὅλον ἐν ταὐτῷ μένει. Ὅθεν δὴ καὶ δοκεῖ ἐπίπεδον εἶναί τι μήκους καὶ πλάτους μόνην ἔχον διάστασιν, οὐ μὴν καὶ βάθους, καὶ οἷον ἀγγεῖον ὁ τόπος καὶ περιέχον καὶ ἅμα εἶναι τῷ πράγματι· ἅμα γὰρ τὰ πέρατα τοῦ περιέχοντος καὶ περιεχομένου. ὥστε οὗ μὲν ἔστι τι ἐκτός, τοῦτο ἐν τόπῳ ἐστὶ καὶ κινεῖται καὶ μένει· οὗ δὲ μὴ ἔστιν ἐκτός, οὐδὲν τούτων ἁρμόττει αὐτῷ. Τοιοῦτον ὁ οὐρανὸς εἴτουν ὁ σύμπας κόσμος· δειχθήσεται γὰρ ὅτι οὐδέν ἐστιν ἔξω αὐτοῦ. Οὐκοῦν ἐν τόπῳ οὔτε ἐστίν, οὔτε κινεῖται, οὔτε μεταβαίνει. Τὰ μέρη εἰσὶν αὐτοῦ ἐν ἀλλήλοις καὶ κινοῦνται, τουτέστιν αἱ ὑπὸ τὴν τῶν ἀπλανῶν ἀστέρων ἑπτὰ λοιπαὶ σφαῖραι τῶν πλανωμένων καὶ τὰ ὑπ' αὐτάς, τὰ ἐν γενέσει καὶ φθορᾷ δηλονότι, ἃ κατ' εὐθεῖαν ἄνω καὶ κάτω κινεῖται, ὑπὸ μανώσει ὄντα καὶ πυκνώσει. Ὅθεν ἐν τοῖς τοῦ οὐρανοῦ ἤτοι τοῦ κόσμου μορίοις ὁ τόπος ἐστὶν ὧν ἕτερον ἑτέρου ἔχεται, καὶ ταῦτα εἰσί που καὶ περιέχονται. Τὸ δὲ πᾶν οὐκ ἔστι που· οὐ γὰρ ἔστι τι ἐκτὸς αὐτοῦ· εἰ γὰρ ἦν ἐκτός τι, οὐδ' ἂν ἦν πᾶν αὐτό.

Ὅτι οὐκ ἔστιν ὁ οὐρανὸς τόπος, ἀλλὰ τὰ ἔσχατα αὐτοῦ ἤτοι ἡ κοίλη ἐπιφάνεια, ἃ καὶ ἀκίνητα νοεῖται ὡς πέρας, εἰ καὶ περιφέρονται, ὅπερ οὐκ ἔστι κυρίως κίνησις. Ἔστι τοίνυν ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τὸ δὲ ἐν τῷ ἀέρι, ὃ δὲ ἐν τῷ αἰθέρι, ὃ δὲ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς ἐν οὐδενί· ἔσχατον γάρ, καὶ οὐδενὸς ἅπτεται περιέχοντος ἔξωθεν.

Ὅτι κατ' ἐνέργειαν μὲν εἰσὶν ἐν τόπῳ τὰ ὅλα, κατὰ δύναμιν δὲ τὰ μόρια τοῦ ὅλου, οὐρανὸς δὲ οὔτε κατ' ἐνέργειαν ἐν τόπῳ· οὐ γὰρ περιέχεται ὑπό του, οὔτε δυνάμει· οὐ γάρ ἐστι τινὸς μόριον ὅλου, πλήν, ὡς εἴρηται, κατὰ συμβεβηκὸς διὰ τὸ τὰ μέρη αὐτοῦ ἐν τόπῳ εἶναι.

Ὅτι οὕτως ὡρισμένου τοῦ τόπου, καλῶς | λύονται καὶ τὰ ἠπορημένα f. 170v περὶ αὐτοῦ. Οὔτε γὰρ ἀνάγκη συναυξάνεσθαι, τῶν ἐν αὐτῷ σωμάτων αὐξανομένων, ἢ ἐλαττοῦσθαι, μειουμένων· μανώσει γὰρ καὶ πυκνώσει τῶν σωμάτων ἀντιμεθισταμένων ἀλλήλοις καὶ ἀντιλαμβανόντων τῶν μὲν τὸ πλέον, τῶν δὲ τὸ ἔλαττον, γίνεται ἡ τῶν τόπων μεταβολὴ εἴτουν τῶν περάτων εἰς τὸ πλέον τε καὶ τὸ ἔλαττον. Οὔτε στιγμῆς ἔσται τόπος, εἴγε μηδὲ τῶν μορίων ἐστὶ τόπος καθ' αὑτά. Οὔτε κινδυνεύσει δύο σώματα ἅμα εἶναι· οὐ γὰρ σῶμα τόπος, ἀλλὰ πέρας σώματος ἐδείχθη εἶναι. Ἀλλ' οὐδὲ διάστημα τὸ μεταξύ ἐστιν ὁ τόπος· τὸ γὰρ σῶμα ἐν τόπῳ γίνεται ἐφαπτόμενον αὐτίκα αὐτοῦ τοῦ πέρατος τοῦ περιέχοντος σώματος. Λύεται δὲ καὶ ἡ τοῦ Ζήνωνος ἀπορία· οὐ γὰρ ἔστιν ὁ τόπος ποῦ ὡς ἐν



ΕΥΓ.Σ. τμ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τόπῳ, ἀλλ᾿ ἔστιν ἔν τινι ὡς πέρας αὐτοῦ. Ἔτι δῆλον γίνεται καὶ πῶς φέρεται τῶν σωμάτων ἕκαστον εἰς τὸν οἰκεῖον τῇ φύσει τόπον καὶ μένει ἐν αὐτῷ κατὰ φύσιν, ὅτι διὰ τὸ συγγενές· οἷον τὸ ὕδωρ ἐν τῷ ἀέρι διὰ τὸ κοινὸν τῆς ὑγρότητος, καὶ ὁ ἀὴρ ἐν αἰθέρι διὰ τὸ κοινὸν τῆς θερμότητος. Διὸ καὶ δρῶσιν εἰς ἄλληλα καὶ πάσχουσιν ὑπ᾿ ἀλλήλων. Διὸ καὶ τὸ ὕδωρ μόριον τρόπον τινὰ τοῦ ἀέρος· ὕλη γάρ πώς ἐστι τοῦ ἀέρος ὡς πρὸς εἶδος αὐτὸν μεταβαλλομένη· ἡ δὲ ὕλη μόριον τοῦ συνθέτου. Ὅτι δὲ καὶ τὸ ἀνάπαλιν οὐκ ἔστιν· οὐδὲ γὰρ παχυνόμενος ὁ ἀὴρ καὶ ὕδωρ γινόμενος ὕλη λοιπόν ἐστι τοῦ ὕδατος ὡς εἴδους· καὶ μόριον τοῦ συνθέτου ἐν τοῖς περὶ γενέσεως εἰρήσεται καὶ φθορᾶς. Ἔοικε δὲ οὕτως ἔχειν, ὅτι ἡ μὲν τοῦ παχυτέρου καὶ ὑλικωτέρου μεταβολὴ εἰς τὸ λεπτότερον γένεσις δοκεῖ εἶναι, καὶ διὰ τοῦτο ὡς ὕλη μέν ἐστι τὸ μεταβάλλον, ὡς εἶδος δὲ τὸ εἰς ὃ μεταβάλλει· ἡ δὲ τοῦ λεπτοτέρου μεταβολὴ εἰς τὸ παχυμερὲς φθορά τις εἶναι δοκεῖ· τὸ δὲ φθαρὲν πως δύναται εἶναι μόριον· ὅθεν καὶ ἀρετὴν ὕδατος φαμὲν τὴν κουφότητα καὶ ἑτοιμότητα πρὸς τὴν τοῦ ἀέρος μετάληψιν ὡς εἴδους τινὸς καὶ οἷον οὐσίωσιν, κακίαν δὲ ἀέρος τὴν παχύτητα καὶ ὥσπερ ὁδὸν εἰς φθοράν. Εἰκότως οὖν καὶ τὸ μὲν ὕδωρ ἐπὶ τὸ τοῦ ἀέρος ἵεται πέρας, ὁ δὲ ἀὴρ οὐκ ἐπὶ τὸ τοῦ ὕδατος, ἀλλ᾿ ἐπὶ τὸ τοῦ πυρὸς ὡς μόριον καὶ ὡς ὕλη ἐπὶ τὸ εἶδος· ἐκεῖ τε οὖν φέρεται καὶ μένει,
f. 171 καὶ εἰσὶν | ὑπ᾿ αὐτοῦ παθητά, καὶ γίνεται ἅπερ ἐκεῖνα· καὶ ἐπαφὴ μέν ἐστι κατὰ τὸ τοῦ τόπου ἴδιον αὐτῶν ἐν ἐκείνοις, ἤτοι ὕδατος ἐν ἀέρι, καὶ ἀέρος ἐν αἰθέρι. Ὅταν δὲ ἐνεργείᾳ γένηται ἅπερ ἐκεῖνα, σύμφυσίς ἐστι καὶ ὡς ἓν γίνεταί τε καὶ θεωρεῖται:

Μετὰ τοῦτο εἰπὼν ὅπως ὁ περὶ τοῦ κενοῦ λόγος εἰκότως ἀκολουθεῖ τῷ περὶ τοῦ τόπου καὶ δεύτερός ἐστιν εὐλόγως, καὶ ὅπως δεῖ ζητεῖν καὶ περὶ αὐτοῦ τὰ τέσσαρα ζητήματα, ὡς καὶ περὶ τόπου καὶ περὶ πάντων τῶν ζητουμένων, καὶ ὅτι δεῖ περὶ αὐτοῦ τὰ ἀντιφατικῶς δοξαζόμενα πρῶτον ἐκτίθεσθαι, τῶν μὲν δοξαζόντων αὐτὸ εἶναι, τῶν δὲ μὴ εἶναι, καὶ τὰ κοινῶς προειλημμένα πᾶσι περὶ αὐτοῦ καὶ οὕτω τὸ ἀληθὲς ἀκριβοῦν, πρῶτον μὲν τὸν Ἀναξαγόραν τίθησι τὸ κενὸν ἀναιροῦντα καὶ τοὺς περὶ ἐκεῖνον, οἳ δεσμοῦντες ἀσκοὺς πλήρεις πάντως ἀέρος, ἔτυπτον αὐτοὺς δεικνύντες τὸ σωματικὸν καὶ ἀντιτυπὲς τοῦ ἀέρος· τὸ αὐτὸ δὲ καὶ ταῖς κλεψύδραις ἐδείκνυον, ἐν αἷς οὐκ ἔστιν ἐξιέναι τὸ ὕδωρ διὰ τῶν ἐστενωμένων ὀπῶν, εἰ μή τις εἴσοδον ἐν αὐταῖς τοῦ ἀερίου οἰκονομήσειε σώματος. Τούτοις δὲ οὐ τὸ κενὸν ἀναιρεῖται, ἀλλ᾿ ὁ ἀὴρ σῶμα εἶναι δείκνυται. Βέλτιον δὲ ἐπιχειροῦσιν ὅσον εἰς τὴν αὐτῶν πρόθεσιν οἱ τὸ κενὸν εἶναι κατασκευάζοντες. Φασὶ γάρ· εἰ μὴ εἴη κενόν, οὐδὲ κίνησις ἔσται ἡ κατὰ τόπον· διὰ κενοῦ γὰρ δεῖ ταύτην εἶναι, εἴπερ τὸ πλῆρες ἀδύνατον δέξασθαί τι. Εἰ δὲ διὰ πλήρους ἔσται ἡ κίνησις, τέσσαρα ἅμα σώματα ἔσται· οὐδὲν δὲ κωλύει καὶ πλείω εἶναι ὡσαύτως ἅμα καὶ ἴσα ὁμοίως

ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἄνισα. Διὰ τοῦτο καὶ Μέλισσος, μὴ δεχόμενος τὸ κενόν, ἀνῄρει καὶ τὴν τοῦ ὄντος κίνησιν, ἀκίνητον αὐτὴν λέγων, ἵνα μὴ διὰ κενοῦ νοῆται ἡ κίνησις. Ἔπειτα ἐκ τῶν συμπιλουμένων καὶ συνιόντων δεικνύουσιν· οἱ γὰρ αὐτοὶ πίθοι τὸν αὐτὸν οἶνον δέχονται ἀσκοῖς ἐμβληθέντα μετὰ τῶν ἀσκῶν αὐτῶν, ὅπερ οὐκ ἂν ἐγίνετο, φασί, μὴ συμπιλουμένου καὶ συνιζάνοντος τοῦ ἐν τοῖς οἴνοις κενοῦ. Ἔτι καὶ τέφρας πλῆρες ἀγγεῖον δέχεται, φασί, καὶ ὕδωρ, ὅσον καὶ χωρὶς τῆς τέφρας ἐδέχετο. Ἔτι καὶ τὴν αὔξησιν τῶν σωμάτων διὰ κενοῦ φασὶ γίνεσθαι· δι' αὐτοῦ γὰρ χωρεῖν τὴν τροφὴν τὴν τὸ σῶμα αὔξουσαν· οὐ γὰρ ἐγχωρεῖν διὰ σώματος, ὡς οἱ Πυθαγόρειοι δὲ ἔξωθεν ἔλεγον | ἐπεισιέναι τῷ οὐρανῷ τὸ κενὸν ἐκ f. 171v
τοῦ ἀπείρου πνεύματος, ὡς ἂν τῇ ἀναπνοῇ τοῦ κενοῦ οἱ διορισμοὶ τῶν ἐν τῷ κόσμῳ γίνοιντο, καὶ τοὺς ἀριθμοὺς δὲ τῷ κενῷ διορίζεσθαι ἔλεγον, οἷον τὰ τρία τῶν δύο καὶ τὰ τέτταρα τῶν τριῶν. Καὶ πρὶν ἀναιρεῖν τὰς τοιαύτας ἐπιχειρήσεις, ἐκτίθεται τὰς περὶ τοῦ κενοῦ δόξας τῶν ἀρχαίων καὶ οὓς ἐδίδουν ἄλλους ἄλλοι διορισμοὺς αὐτοῦ, οὓς καὶ ἐλέγχει. Οἳ μὲν γὰρ ἔφασκον εἶναι ἐν ᾧ μηδέν ἐστι βαρύ, ἢ κοῦφον, εἰ καὶ μὴ τῇ λέξει προσετίθουν τὸ βαρὺ καὶ τὸ κοῦφον· ἦν γὰρ ἀνάγκη νοεῖν· ἔσται δ' ἔστω κατ' αὐτοὺς κενὸν ἥ τε στιγμὴ καὶ ἡ γραμμὴ καὶ ὁ ἀριθμὸς καὶ τὰ τοιαῦτα, οἷς οὐ μέτεστιν ὅλως τοῦ βαρέος καὶ κούφου. Ἄλλοι ἔλεγον αὐτὸ διάστημα ἐστερημένον σώματος ἁφὴν ἔχοντος. Ἄλλοι ἔλεγον κενὸν εἶναι ἐν ᾧ μηδὲν ὅλως ἐστίν, μήτε οὐσία μηθ' ὁτιοῦν. Τούτους οὖν ἐλέγξας, οἰκείως ἀνατρέπει τὰς πρώτας ἐπιχειρήσεις. Τί γὰρ κωλύει, φησί, καὶ μὴ ὄντος κενοῦ, τὴν κατὰ τόπον εἶναι κίνησιν τῇ τῶν σωμάτων ἀντιμεταστάσει τοὺς ἀλλήλων τόπους ἀντιλαμβανόντων· ὁρῶμεν γὰρ κἀν ταῖς δίναις τῶν στρόμβων καὶ τῶν τροχῶν τὰ μέρη αὐτῶν ἀντιλαμβάνοντα τοὺς ἀλλήλων τόπους ἐν τῇ δινήσει, καὶ κινοῦνται τοπικῶς συνεχῆ ὄντα, οὐ διὰ κενοῦ τινος. Καὶ ἐν ἀγγείῳ πλήρει σώματος ὑγροῦ κινεῖται ἐντὸς τὸ ὑγρὸν αὐτὸ σῶμα, τῶν αὐτοῦ μορίων ἀντιλαμβανόντων τοὺς ἀλλήλων τόπους, οὐ χωρούντων διὰ κενοῦ. Ἀλλ' οὐδ' ἀνάγκη κενὸν εἶναι διὰ τὴν πύκνωσιν καὶ συνίζησιν τῶν πιλουμένων σωμάτων· ἔστι γὰρ πιλοῦσθαι καὶ εἰς ὀλιγότητα πληροῦσθαι καὶ συνιζάνειν, ἐκπυρηνιζομένων οἷον εἰπεῖν καὶ ἐκχωρούντων τῶν ἐν αὐτοῖς λεπτομερεστέρων, τῶν δὲ παχυτέρων ἐναπολειπομένων, ὡς ἐκ τοῦ ὕδατος τῶν ἀερωδεστέρων, ὥσπερ οἱ πυρῆνες τῶν ἐλαιῶν ἐξίστανται θλιβομένων·

Ἡ δ' ἐκ τῆς τῶν σωμάτων αὐξήσεως τῇ προσθήκῃ τῆς τροφῆς ἐπιχείρησις αὐτῶν εἶναι μὲν κενὸν οὐδεμίαν ἀνάγκην ἐπάγει, ἀπορίαν δὲ μεγάλην κινεῖ καὶ ἀξιοζήτητον, ἣν ἀπορίαν ἐπεξεργάζεται μὲν ἐνταῦθα, λύει δὲ ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, ὅπου καὶ τὴν περὶ τῆς τέφρας ἀπορίαν καὶ λύσιν συνάπτει. Εἶτα, τὸ κενὸν διττὸν ὑποτιθεμένων ἐκείνων, τὸ μὲν κεχωρισμένον καὶ ἄπειρον, τὸ δὲ | τοῖς σώμασιν ἐγκα- f. 172

τεσπαρμένον, δείκνυσιν ὡς οὐδέτερον δύναται τῆς κινήσεως αἴτιον εἶναι, ἀκινησίας μὲν οὖν, τό γε ἐπ' αὐτῷ μηδεμίαν ἔχοντι διαφορὰν οὔτε ἀνάγκην τινὰ ὁλκῆς ἢ μονῆς ἐν αὐτῷ. Ἀλλ' αἱ κατὰ φύσιν ῥοπαὶ τῶν σωμάτων, τῶν κούφων μὲν εἰς τὸ ἄνω, εἰς δὲ τὸ κάτω τῶν βαρέων, τῆς τοιᾶσδε κινήσεως ἐν αὐτοῖς αἴτια γίνονται.

Τοῖς δὲ ὑποτιθεμένοις διάστημα εἶναι τὸ κενὸν τὰ αὐτὰ ἀδύνατα ἀκολουθεῖ, ἃ καὶ τοῖς τὸν τόπον ὑποτιθεμένοις οὕτως ἀκολουθεῖν δέδεικται. Ἔτι, πάσης κινήσεως κατὰ φύσιν οὔσης, ἢ παρὰ φύσιν, καὶ προτέρας τῆς κατὰ φύσιν· ἡ γὰρ παρὰ φύσιν καὶ βίαιος ἐκτροπή τίς ἐστι τοῦ ὄντος καὶ ἐπὶ τῷ ὄντι δρᾶται, ὃ δὴ προϋπάρχειν πᾶσα ἀνάγκη· τὴν μὲν κατὰ φύσιν κίνησιν οὐχ οἷόν τε εἶναι ἐν τῷ ἀπείρῳ κενῷ· οὔτε γὰρ τὸ ἄπειρον, ᾗ ἄπειρον, ἔχει τὰς τοπικὰς διαστάσεις, οὔτε τὸ κενόν, ᾗ κενόν· τοῦ γὰρ μὴ ὄντος καὶ τοῦ μηδενὸς ποία ἂν εἴη διαφορά; Ἄνευ δὲ τῶν τοιούτων διαφορῶν οὐδεμία γίνεται κίνησις ἐν τοῖς φύσει κινουμένοις. Οὐδὲ μὴν τὴν παρὰ φύσιν κίνησιν ἐν τῷ κενῷ γίνεσθαι ἐγχωρεῖ διὰ τὸ εἰρημένον· οὐκοῦν οὐδόλως κίνησις ἐν τῷ κενῷ. Εἰ δὲ ἀνάγκη κίνησιν εἶναι, οὐκ ἄρα κενόν. Καὶ ἄλλως δὲ δείκνυσιν ἀδύνατον ἐν τῷ κενῷ τὴν παρὰ φύσιν εἶναι, καὶ βίαιον κίνησιν διπλῆν αἰτίαν τῆς τοιαύτης κινήσεως τιθείς, ἣν ἀδύνατον ἐν τῷ κενῷ εἶναι· ἢ γὰρ δι' ἀντιπερίστασιν τοῦ ἀέρος φέρονται οὕτω παρὰ φύσιν τὰ ῥιπτούμενα καὶ βίᾳ φερόμενα· τεμνόμενος γὰρ ὑπὸ τῶν ῥιπτουμένων καὶ ἀντιμεθιστάμενος ὄπισθεν, προωθεῖ αὐτά, ἢ ἕως ἂν ἡ τοῦ ῥίψαντος δύναμις καὶ ἡ τοῦ ἀέρος ὑπὸ ταύτῃ εὐκινησίᾳ ἰσχυροτέρα ᾖ τῆς κατὰ φύσιν τῶν ῥιπτουμένων φορᾶς, κινοῦνται βίᾳ, καὶ ταύτης παυσαμένης φέρονται φύσει κάτω. Ὑπὸ τίνος οὖν καὶ ὠσθήσεται ἐν τῷ κενῷ, μὴ ὄντος σώματος ἄλλου ἐν τῷ κενῷ, εἰ μὴ ὀχούμενον φέροιτο, ἐπὶ τίνος δ' ἂν καὶ ὀχοῖτο; Οὐ γὰρ ἐπὶ τοῦ κενοῦ. Οὔτε οὖν κίνησις, οὔτε ἠρεμία καὶ μονή τις ἔσται τῶν σωμάτων ἐν τῷ κενῷ διὰ τὰ αὐτὰ ταῦτα· οὐδὲν γὰρ μᾶλλον τῇδε ἢ τῇδε μενεῖ, ὥσπερ οὐδὲ κινήσεται. Εἰ δὲ διὰ τὸ ὑπείκειν τὸ κενὸν κινήσονται ἐν αὐτῷ, πανταχοῦ οἰσθήσονται τὰ κινούμενα δι' ὅλου, ὑπείκοντος τοῦ κενοῦ, ἢ οὐδαμοῦ κινήσονται, εἴπερ ἀδύνατον πανταχοῦ κινεῖσθαι.

f. 172v | Ὅτι οὐ μόνον ἀδύνατόν ἐστι κεχωρισμένον εἶναι τὸ κενὸν ἐν τῷ κόσμῳ, εἰς ἄτοπα πολλὰ τῆς θέσεως ταύτης ἀπαγούσης, ἅπερ ἐκτεθειμένα φιλοτίμως καὶ δεδειγμένα ἐνταῦθα οὐκ ἐσημειωσάμεθα, ἀλλ' ὁμοίως ἀδύνατόν ἐστιν αὐτὸ εἶναι καὶ τοῖς σώμασιν ἐγκατεσπαρμένον. Καὶ πρῶτον τίθησι τοὺς λόγους τῶν εἶναι τὸ κενὸν οἰομένων ἀπὸ τῆς μανώσεως καὶ πυκνώσεως καὶ συμπιλήσεως, εἶτα αὐτοὺς ἀνατρέπει ὡς μηδὲν ἔχοντας εὔλογον. Δείξας οὖν οὕτω μὴ εἶναι τὸ κενὸν ὅλως, ἀκριβούμενος καθόλου τὸν περὶ τούτων λόγον ἐπάγει.

Ὅτι φανερόν ἐστι ἐκ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ δεδειγμένων, ὡς ἡ

Ε.Υ. Δ/νσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γένεσίς ἐστιν ἐκ τῶν ἐναντίων, τῆς αὐτῆς οὔσης καὶ μιᾶς ὑποκειμένης ὕλης· τὸ γὰρ αὐτὸ ὑποκείμενον καὶ ἡ ὕλη γίνεται τὰ ἐναντία, νῦν μὲν θερμόν, νῦν δὲ ψυχρόν, καὶ νῦν μὲν λευκόν, νῦν δὲ μέλαν· δυνάμει γὰρ ὂν τὸ ὑποκείμενον ταῦτα τὰ ἐναντία, ἐκ τοῦ δυνάμει γίνεται ταῦτα καὶ ἐνεργείᾳ. Ὥσπερ δὲ τὸ αὐτό ἐστιν ὑποκείμενον ταῖς ἄλλαις ἐναντιότησιν, οὕτω καὶ τῇ ἐναντιότητι τοῦ μεγέθους, τῷ μεγάλῳ δηλονότι καὶ τῷ μικρῷ. Καὶ γάρ, τῆς αὐτῆς οὔσης ὕλης καὶ μή τινος παρεισαγομένου ἢ ἐξαγομένου, ἐξ ὕδατος γίνεται ἀήρ, ἐξ ἐλάττονος μείζων, καὶ ἐξ ἀέρος ἀνάπαλιν ὕδωρ, ἐκ τοῦ μείζονος τὸ ἔλαττον· ὡσαύτως δὲ ἐκ θερμοῦ ψυχρὸν γίνεται, καὶ τὸ ἀνάπαλιν ἡ δυνάμει ταῦτα οὖσα ὕλη, καὶ ἐκ θερμοῦ ἧττονος μᾶλλον θερμόν, καὶ τὸ ἀνάπαλιν, καὶ ἐπὶ τῶν ψυχρῶν ὡσαύτως· καὶ μιᾶς οὔσης τῆς ὕλης, ἐξ αὐτῆς ὁ μείζων ἀὴρ ἥττων γίνεται, καὶ ὁ ἥττων μείζων, διότι δυνάμει ταῦτ᾽ ἔστι πάντα, καὶ οὐδὲν μᾶλλον τόδε ἢ τόδε, καὶ νῦν ἢ πρότερον· ὥσπερ καὶ ἐπὶ κύκλων ἡ κυρτότης τοῦ μείζονος κύκλου εἰς ἐλάττω κύκλον συστελλομένη, ἡ τὸ ἀνάπαλιν ἡ τοῦ ἐλάττονος εἰς μείζω κύκλον ἀνιεμένη ἡ αὐτή ἐστι κοίλη γραμμή, καὶ μή τινος εὐθύτητος ἐν αὐτῇ οὔσης, ἢ προστιθεμένης, ἢ ἀφαιρουμένης, αἱ μεταποιήσεις αὗται γίνονται, οὕτω καὶ τῆς αὐτῆς ὕλης οὔσης, τὸ θερμὸν εἰς μεῖζον καὶ ἔλαττον ἑαυτοῦ μεταβάλλει, οὐ παρεισαγωγῇ ἢ διαγωγῇ κενοῦ ἢ ἄλλου του τοῦτο συμβαίνει. Ἔστι γὰρ ἡ ὕλη τὸ αὐτὸ ἀεί, κἂν ὁποιοῦν αὐτῆς μόριον λόγῳ καὶ νῷ διαιρῇς. Ὥσπερ κἂν ὁτιοῦν φλογὸς μόριον λάβῃς, θερμόν ἐστιν ἀεί, φησί, καὶ λευκόν, οὕτως ἡ αὐτή ἐστιν | ὕλη τὸ μέγα καὶ τὸ μικρόν, καὶ γίνεται ταῦτα τῷ μὲν ὑποκειμένῳ ἓν f. 173
οὖσα, δυνάμει δὲ καὶ λόγῳ διάφορα θεωρουμένη καὶ οὐ προσλαμβάνουσά τι ἐπεκτείνεται, οὐδ᾽ αὖ ἀπολείπουσα ἐλαττοῦται καθό ἐστιν ὑποκείμενον ἤτοι διὰ πρόσληψιν ἢ ἀπόθεσιν κενοῦ, ἀλλ᾽ ὅτι δυνάμει ἐστὶν ἀμφότερα· νῦν ὁρᾶται μέγα, νῦν μικρόν. Οὕτως οὖν τὸ αὐτὸ καὶ ἓν ὑποκείμενον τὸ μανὸν καὶ τὸ πυκνόν, καὶ μία ἀμφοτέροις ἡ ὕλη· καὶ τῷ μὲν πυκνῷ ἐνθεωρεῖται τὸ βαρύ, τῷ δὲ μανῷ τὸ κοῦφον· καὶ ἐν μὲν τῷ μανῷ τὸ κοῦφον μετὰ τοῦ μαλακοῦ, καὶ ἐν τῷ πυκνῷ μετὰ τοῦ βαρέος καὶ τὸ σκληρὸν ὡς ἐπὶ τὸ πολύ, οὐκ ἀεί· ἐνίοτε γὰρ σύνεστι τῷ βαρεῖ τὸ μαλακόν, ὡς ἐπὶ μολύβδου, καὶ τῷ σκληρῷ τὸ κοῦφον ἤτοι τὸ ἧττον βαρύ, ὡς ἐπὶ σιδήρου. Καὶ οὕτως τὸν περὶ τοῦ κενοῦ λόγον ἀποδίδωσιν ὡς οὐδόλως δυναμένου εἶναι αὐτοῦ, εἰ μή τις βούλοιτο οὐ κυρίως αὐτὸ τὸ ὑποκείμενον καὶ τὴν ὕλην λέγειν κενόν, μανότητι αὐτῆς καὶ πυκνότητι καὶ ἑπομένως κουφότητι καὶ βαρύτητι αἰτίαν γινομένην τῆς διαφόρου κινήσεως, καὶ σκληρότητι καὶ μαλακότητι τῷ μανῷ καὶ πυκνῷ ἑπομέναις αἰτίαν γινομένην ἑαυτῇ εὐπαθείας καὶ δυσπαθείας:

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Du temps.

### Περὶ χρόνου.

Ἀκολούθως τῷ περὶ τοῦ κενοῦ λόγῳ τὸν περὶ τοῦ χρόνου προστίθησιν, ὅτι καὶ σόφοις καὶ ἀμαθέσιν ἐνδηλότατα διὰ παντὸς τὰ τοῦ χρόνου ῥήματα· τὸ χθές, τὸ σήμερον, τὸ πάλαι, τὸ νῦν καὶ τὰ τοιαῦτα. Ἔστι δέ, φησίν, ἀπορία περὶ τῆς οὐσίας τοῦ χρόνου πολλή, ἐπειδὴ τὸ μὲν αὐτοῦ γέγονε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει καὶ οὔπω ἔστιν, ἐκ δὲ τούτων ὁ ἄπειρος καὶ ἀεὶ λαμβανόμενος σύγκειται χρόνος· τὸ δ' ἐκ μὴ ὄντων συγκείμενον πῶς ἂν οὐσίας καὶ ὑπάρξεως μετέχοι;

Ἔτι. πᾶν τὸ συνεχὲς καὶ μεριστόν ἐστιν, ἢ πάντων τῶν μερῶν αὐτοῦ ὄντων ἅμα, ὡς ἐπὶ γραμμῆς καὶ ἐπιφανείας καὶ ὅλως μεγέθους· ἢ ἐνίων μὲν ὄντων, ἐνίων δὲ μή, διὰ τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχειν, ὡς ἐπὶ κινήσεως καὶ ἀγῶνος· τοῦ δὲ χρόνου μεριστοῦ ὄντος μόριον οὐδὲν ἔστιν· τὰ μὲν γὰρ γέγονε καὶ οὐκ ἔστι, τὰ δὲ μέλλοντα οὐκ ἔστιν οὐδ' αὐτά, τὸ δὲ νῦν μέρος οὐκ ἔστι· τὸ μὲν γὰρ μέρος μετρεῖ τὸ ὅλον, τὸ δὲ νῦν οὐ μετρεῖ τὸν χρόνον, ὡς οὐδὲ ἡ στιγμὴ τὴν γραμμήν· ἀμερὲς γάρ.

Ἔτι, τὸ μὲν ὅλον ἐκ τῶν μερῶν σύγκειται· ὁ δὲ χρόνος οὐ σύγκειται
f. 173v ἐκ τοῦ νῦν, ὡς οὐδὲ | γραμμὴ ἐκ στιγμῶν μυρίων· ἀμερεῖς γὰρ καὶ οὐδόλως διασταταί.

Ἔτι, ἐπεὶ τὸ νῦν εἰς διαστολήν ἐστι τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος, ἢ τὸ αὐτό ἐστιν, ἢ ἄλλο καὶ ἄλλο· δείκνυται δὲ ἑκάτερον τούτων ἀδύνατον διὰ τὰ ἀκολουθοῦντα ἀδύνατα.

Ἔτι, ἔνιοι τῶν ἀρχαιοτέρων ὑπέθεντο χρόνον εἶναι τὴν οὐράνιον σφαῖραν· ὧν τὴν δόξαν ὡς ἠλίθιον οὐδ' ἀξιοῖ ἀνατροπῆς· ἠπάτηνται γὰρ διὰ τὸ πάντα λέγεσθαι ἐν τῇ οὐρανίῳ σφαίρᾳ τὰ ὄντα, καὶ πάντα λέγεσθαι εἶναι ἐν χρόνῳ, ἀγνοοῦντες ὅτι ἄλλως εἶναι ἐν τῇ σφαίρᾳ λέγονται, καὶ ἄλλως ἐν τῷ χρόνῳ.

Ἄλλοι ὑπέθεντο τὸν χρόνον εἶναι τὴν περιφορὰν τῆς οὐρανίου σφαίρας καὶ τὴν κίνησιν, καὶ τούτους ἐλέγχει εὐλογώτερόν πως ἀξιοῦντας· ἀδύνατον δὲ καὶ αὐτό· τὸ γὰρ μέρος τῆς περιφορᾶς οὐκ ἔστι περιφορά, εἴπερ ἐστὶ περιφορὰ ἡ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκατάστασις, τὸ δὲ τοῦ χρόνου μόριον χρόνος.

Ἔτι, εἰ πλείους ἦσαν οἱ οὐρανοί, ὥς τινες ᾤοντο, καὶ πλείους περιφορὰς ἦσαν ἂν ἀκολούθως, καὶ πλείους χρόνοι ἅμα. Ἕτεροι κίνησίν τινα καὶ μεταβολὴν τὸν χρόνον ἐνόμισαν, ὃ καὶ μᾶλλον δόξειεν ἄν· ἔστι δὲ οὐδὲ τοῦτο· ἡ μὲν γὰρ κίνησις καὶ μεταβολὴ ἐν τῷ κινουμένῳ μόνῳ αὐτῷ ἐστὶ καὶ μεταβάλλοντι ἄλλη ἐν ἄλλῳ, χρόνος δὲ ὁ αὐτὸς καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν ἐστίν.

Ἔτι, ἡ μὲν μεταβολὴ πᾶσα καὶ κίνησις θάττων ἐστὶ καὶ βραδυτέρα·

ΙΩΑΝΝΙΝΑ 2006

θάττων μὲν ἡ ἐν ὀλίγῳ χρόνῳ γινομένη πολλή· βραδυτέρα δὲ ἡ ἐν πολλῷ χρόνῳ ὀλίγη. Χρόνος δὲ οὐκ ἔστιν ἐν χρόνῳ, οὐδὲ πολύς ἐστιν, ἢ ὀλίγος καθ' αὑτὸν καὶ ᾗ χρόνος, ἀλλ' ἀριθμούμενος νῦν μὲν εὑρίσκεται πλείων, νῦν δὲ ἐλάττων.

Ὅτι, εἰ καὶ μὴ ἔστιν ὁ χρόνος κίνησις καὶ μεταβολή, ἀλλ' οὐκ ἔστιν ἄνευ κινήσεως καὶ μεταβολῆς καταλαμβανόμενος· εἰ γάρ τις, ὑπνώσας ἐφ' ὁσονοῦν, εἶτ' ἐξυπνισθείη, δοκεῖ πως, διὰ τὴν μεταξὺ ἀναισθησίαν, ἐν τῷ αὐτῷ νῦν εἶναι ἐν ᾧ καὶ πρὶν ὑπνώττειν ἄρχεσθαι ἦν, ὡς μηδενὸς ἐν μέσῳ χρόνου παρακολουθήσαντος· καὶ ὥσπερ εἰ τὸ αὐτὸ ἦν τὸ νῦν ἀεί, οὐκ ἂν ἦν χρόνος, οὕτως λανθάνοντος τοῦ νῦν, τοῦ τε ὑστέρου καὶ προτέρου καὶ τοῦ μεταξύ, οὐ δοκεῖ τὸ μεταξὺ χρόνος εἶναι. Οὐκοῦν οὐκ ἄνευ κινήσεως γνωριζόμενος, οὐδ' ἄνευ ταύτης ἐστὶν ὁ χρόνος· | τούτου f. 174 δ' οὕτως ἔχοντος, ἢ κίνησίς τίς ἐστι λοιπὸν ὁ χρόνος, ἤ τι τῆς κινήσεως. Ἀλλ' ἐδείχθη μὴ εἶναι κίνησις· ζητητέον τοίνυν τί τῆς κινήσεώς ἐστιν ὁ χρόνος. Καὶ προδιαλαβὼν τινα τῷ ὁρισμῷ συνεργοῦντα, ὁρίζεται τὸν χρόνον οὕτως· χρόνος ἐστὶν ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. Τὸ γὰρ πρῶτον καὶ ὕστερον πρώτως μὲν ἐνυπάρχει τῷ μεγέθει καὶ τῷ τόπῳ, πλὴν κατὰ θέσιν, ἐξ οὗ δηλονότι καὶ εἰς ὃ ἡ κίνησις· ἑπομένως δὲ ὑπάρχει καὶ τῇ κινήσει, εἰ καὶ μὴ κατὰ θέσιν· διὰ δὲ τὴν κίνησιν αὖ ἑπομένως ὑπάρχει καὶ τῷ χρόνῳ ὡς τῇ κινήσει συγκαταλαμβανομένῳ οὐδ' αὐτῷ κατὰ θέσιν· οὐ γὰρ μένει ἐν αὐτῷ τὸ πρότερον καὶ ὕστερον, ἀλλὰ παρέρχονται. Ἔστι δὲ ἀριθμὸς κινήσεως οὐχ ὡς ᾧ ἀριθμεῖται τὸ ἀριθμούμενον, ἀλλ' ὡς τὸ ἀριθμούμενον. Ἐκεῖνος μὲν γὰρ ὁ ἀριθμὸς διωρισμένον ποσόν, κίνησις δὲ καὶ χρόνος συνεχές. Ὅση τοίνυν ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος, καὶ συνεπινοεῖται ταύτῃ ὡς ἐπ' αὐτῇ ἀριθμούμενος.

Ὅτι δὲ ἀληθῶς οὕτως ὁ χρόνος ὥρισται, δῆλον· τὴν μὲν γὰρ κίνησιν πλείω καὶ ἐλάττω φαμὲν κατὰ τὸν χρόνον, τὸ δὲ πλεῖον καὶ ἔλαττον ἐν ἀριθμῷ θεωρεῖται. Καὶ ἔστι μὲν ὁ πᾶς ἅμα χρόνος ὁ αὐτός, ἄλλος δὲ ἐπ' ἄλλῳ θεωρεῖται, ὥσπερ καὶ ἡ κίνησις ἀεὶ ἄλλη καὶ ἄλλη καταλαμβάνεται· ἔχει γὰρ ὡσαύτως ἥ τε στιγμὴ πρὸς τὸ μέγεθος καὶ τὸ φερόμενον πρὸς τὴν κίνησιν καὶ τὸ νῦν πρὸς τὸν χρόνον· καὶ ὥσπερ ἡ στιγμὴ ἡ αὐτή ἐστι τῷ ὑποκειμένῳ, διαφέρει δὲ τῷ λόγῳ ὡς ἐν διαφόροις νοουμένη τῇ τε ἀρχῇ καὶ τῷ μέσῳ καὶ τῷ πέρατι τοῦ μεγέθους· οὐ γὰρ συντεθεῖσα ποιεῖ τὴν γραμμήν, ἀλλὰ ῥυεῖσα· οὕτως ἔχει καὶ τὸ φερόμενον ἐν τῇ κινήσει, καὶ τὸ νῦν ἐν τῷ χρόνῳ, καὶ ἀκολουθεῖ τῇ μὲν στιγμῇ τὸ φερόμενον διὰ ταῦτα· τῷ δὲ φερομένῳ καὶ τῇ κινήσει τὸ νῦν. Ἔστι δὲ γνωριμώτερον μὲν τὸ φερόμενον, διὰ δὲ τοῦτο ἔστι καὶ γνωρίζεται ἡ κίνησις καὶ φορά, καὶ διὰ ταύτην αὖθις ὁ χρόνος, ὥστε μεσιτευούσης τῆς φορᾶς διὰ τοῦ φερομένου ὁ χρόνος καὶ ἔστι καὶ γνωρίζεται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006